NOVUM TESTAMENTUM, Evangelium secundum Matthaeum.

## 2.

**(1)** _Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλέεμ τῆς Ἰουδαίας
ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνα-
τολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα **(2)** λέγοντες, Ποῦ
ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ
τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.
**(3)** ἀκούσας δὲ ὁ βασιλεὺς Ἡρῴδης ἐταράχθη καὶ πᾶσα
Ἱεροσόλυμα μετ᾽ αὐτοῦ, **(4)** καὶ συναγαγὼν πάντας τοὺς
ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ᾽ αὐτῶν
ποῦ ὁ Χριστὸς γεννᾶται. **(5)** οἱ δὲ εἶπαν αὐτῷ, Ἐν Βηθλέεμ
τῆς Ἰουδαίας·
**(7)** Τότε Ἡρῴδης λάθρᾳ καλέσας τοὺς μάγους ἠκρίβωσεν
παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος, **(8)** καὶ
πέμψας αὐτοὺς εἰς Βηθλέεμ εἶπεν, Πορευθέντες ἐξετάσατε
ἀκριβῶς περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε ἀπαγγείλατέ
μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. **(9)** οἱ δὲ ἀκού-
σαντες τοῦ βασιλέως ἐπορεύθησαν, καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν
εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτοὺς ἕως ἐλθὼν ἐστάθη
ἐπάνω οὗ ἦν τὸ παιδίον. **(10)** ἰδόντες δὲ τὸν ἀστέρα ἐχά-
ρησαν χαρὰν μεγάλην σφόδρα. **(11)** καὶ ἐλθόντες εἰς τὴν
οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ,
καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες τοὺς
θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ

λίβανον καὶ σμύρναν. (12) καὶ χρηματισθέντες κατ᾽ ὄναρ
μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν
εἰς τὴν χώραν αὐτῶν.
(13) _Ἀναχωρησάντων δὲ αὐτῶν ἰδοὺ ἄγγελος κυρίου φαί-
νεται κατ᾽ ὄναρ τῷ Ἰωσὴφ λέγων, Ἐγερθεὶς παράλαβε
τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον,
καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης
ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό. (14) ὁ δὲ ἐγερθεὶς
παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ
ἀνεχώρησεν εἰς Αἴγυπτον, (15) καὶ ἦν ἐκεῖ ἕως τῆς τελευ-
τῆς Ἡρῴδου·

NOVUM TESTAMENTUM, Evangelium secundum Lucam.

**2.**

(1) Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα
παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν
οἰκουμένην. (2) αὕτη ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμο-
νεύοντος τῆς Συρίας Κυρηνίου. (3) καὶ ἐπορεύοντο πάντες
ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν. (4) Ἀνέβη
δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ
εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυὶδ ἥτις καλεῖται Βηθλέεμ,
διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ, (5) ἀπο-
γράψασθαι σὺν Μαριὰμ τῇ ἐμνηστευμένῃ αὐτῷ, οὔσῃ

ἐγκύῳ. (6) ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν
αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, (7) καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς
τὸν πρωτότοκον· καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν
αὐτὸν ἐν φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ κατα-
λύματι.

(8) _Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες
καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην
αὐτῶν. (9) καὶ ἄγγελος κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα
κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον
μέγαν. (10) καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, Μὴ φοβεῖσθε,
ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην ἥτις ἔσται
παντὶ τῷ λαῷ, (11) ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς
ἐστιν Χριστὸς κύριος ἐν πόλει Δαυίδ· (12) καὶ τοῦτο
ὑμῖν τὸ σημεῖον, εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ
κείμενον ἐν φάτνῃ. (13) καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ
ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν
καὶ λεγόντων,

(14) _Δόξα ἐν ὑψίστοις θεῷ

__καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκίας.

(15) _Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν
οἱ ἄγγελοι, οἱ ποιμένες ἐλάλουν πρὸς ἀλλήλους, Διέλθωμεν
δὴ ἕως Βηθλέεμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς
ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν. (16) καὶ ἦλθον σπεύσαντες καὶ
ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος

κείμενον ἐν τῇ φάτνῃ· **(17)** ἰδόντες δὲ ἐγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. **(18)** καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς· **(19)** ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. **(20)** καὶ ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς.